ESSENTIALS IN GREEK. Syllabus (1991) by Thomas V. Taylor



More Greek for practice reading...a selection from Colwell/Tune:

Καὶ λέγει τῷ Ἰησοῦ εἷς τῶν μαθητῶν αὐτοῦ· λέγουσιν οἱ Φαρισαῖοι ὅτι Ἠλίας ἐλεύσεται. Ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν· λέγω δὲ ὑμῖν ὅτι Ἠλίας ἐλήλυθεν, καὶ οὐκ ἔγνωσαν αὐτόν, ἀλλ' ἐποίησαν αὐτῷ ἃ ἤθελον, καθὼς γέγραπται ἐπ' αὐτόν. Οὕτως ἔσται καὶ ἐν ταῖς ἡμέραις τοῦ υἱοῦ τοῦ ἀνθρώπου ὅτι αὐτῷ ποιήσουσιν ἃ θέλουσι, καθὼς γέγραπται.

Καὶ εἶπεν ὁ Ἰησοῦς· πάτερ, οὗτοί εἰσιν οἱ μαθηταί μου· γινώσκουσιν γάρ σέ, τὸν ἕνα θεὸν ἐπὶ πάντων καὶ διὰ πάντων καὶ ἐν πᾶσιν. Ἔδωκά σου τὸ ὄνομα τοῖς ἀνθρώποις οὓς ἔδωκάς μοι ἐκ τοῦ κόσμου. Πιστεύουσιν ὅτι πάντα ἃ δέδωκάς μοι παρὰ σοῦ εἰσιν· ὅτι τοὺς λόγους οὓς ἔδωκάς μοι δέδωκα αὐτοῖς.

Πάτερ ἅγιε, ἔρχου πρὸς αὐτούς, ἵνα ὦσιν ἓν καθὼς ἡμεῖς ἐσμεν. Αὐτοὶ οὐκ εἰσὶν ἐκ τούτου τοῦ κόσμου καθὼς ἐγὼ οὐκ εἰμὶ ἐκ τοῦ κόσμου τούτου. Οὐ δὲ περὶ τούτων λέγω, ἀλλὰ καὶ περὶ τῶν πιστευόντων διὰ τοῦ λόγου αὐτῶν εἰς ἐμέ, ἵνα πάντες ἓν ὦσιν, καθὼς σύ, πατήρ, ἐν ἐμοὶ καὶ ἐγὼ ἐν σοί, ἵνα καὶ αὐτοὶ ἐν ἡμῖν ὦσιν, ἵνα ὁ κόσμος πιστεύῃ εἰς σέ. Πατήρ, θέλω ἵνα πάντες ἄνθρωποι ὦσιν μετ' ἐμοῦ. Ταῦτα εἰπὼν Ἰησοῦς ἐξῆλθε σὺν τοῖς μαθηταῖς αὐτοῦ εἰς τὴν Βιθυνίαν.

Εἶπεν ὁ κύριος· πάντα οὖν ἃ ἐὰν θέλητε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, οὕτως καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς· οὕτως γὰρ γέγραπται. Καὶ οὐ πᾶς ὁ λέγων μοι κύριε κύριε, ἐλεύσεται εἰς τοὺς οὐρανούς, ἀλλ' ὁ ἀκούων μου τῶν λόγων καὶ ποιῶν αὐτούς. Πολλοὶ ἐροῦσίν μοι ἐν ἐκείνῃ τῇ ἡμέρᾳ· κύριε κύριε, καὶ ἐγὼ ἐρῶ αὐτοῖς ὅτι οὐ γινώσκω ὑμᾶς. Εἴ τις ἔχει ὦτα ἀκούειν ἀκουέτω.

Ἔρχεται οὖν ὁ Ἰησοῦς ἀπὸ τῆς Γαλιλαίας ἐπὶ τὸν Ἰορδάνην πρὸς τὸν Ἰωάνην τοῦ βαπτισθῆναι ὑπ' αὐτοῦ. Ὁ δὲ Ἰωάνης οὐκ ἤθελεν βαπτίζειν αὐτόν, καὶ λέγει· τί ἔρχῃ σὺ πρός με; Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν αὐτῷ· οὕτως γὰρ γέγραπται. Καὶ ὁ Ἰωάνης ἐβάπτισεν αὐτὸν εἰς τὸν Ἰορδάνην. Βαπτισθεὶς δὲ ὁ Ἰησοῦς εἶδεν ἐκ τῶν οὐρανῶν τὸ πνεῦμα θεοῦ ἐρχόμενον ἐπ' αὐτόν, καὶ ἤκουσεν τοὺς λόγους τούτους· οὗτός ἐστιν ὁ υἱός μου ᾧ ἔδωκα πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς.

Καὶ εἰσῆλθεν ὁ Ἰησοῦς καὶ οἱ μαθηταὶ αὐτοῦ εἰς πόλιν τινά. Καὶ εἰσελθὼν ὁ Ἰησοῦς εἶπεν αὐτοῖς· τίνα με λέγουσιν οἱ ἄνθρωποι εἶναι; Αὐτοὶ δὲ εἶπαν αὐτῷ λέγοντες ὅτι Ἰωάνην τὸν βαπτιστὴν ἢ Ἠλίαν ἢ Ἰερεμίαν. Καὶ αὐτὸς λέγει αὐτοῖς· ὑμεῖς δὲ τίνα με λέγετε εἶναι; Ἀποκριθεὶς ὁ Πέτρος λέγει αὐτῷ· σὺ εἶ ὁ χριστός.

Οἱ Ἰουδαῖοι ἔλεγον αὐτῷ· σὺ τίς εἶ; Εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· ὁ υἱὸς τοῦ πατρός μου. Εἶπον αὐτῷ· τίς ἐστιν ὁ πατήρ σου; Ἀπεκρίθη Ἰησοῦς· οὐκ ἐμὲ οἴδατε ἢ τὸν πατέρα μου. Ἐγὼ γὰρ ἐλήλυθα ἐν τῷ ὀνόματι τοῦ πατρός μου, καὶ οὐ λαμβάνετέ με. Εἰ ἐπιστεύετε Μωϋσεῖ, ἐπιστεύετε ἂν ἐμοί· περὶ γὰρ ἐμοῦ ἐκεῖνος ἔγραψεν. Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὁ λαμβάνων μαθητήν μου ἐμὲ λαμβάνει, ὁ δὲ ἐμὲ λαμβάνων λαμβάνει τὸν πατέρα.

http://www.taylorlib.ibri.org/Taylor-Writings/1991-GreekEssentials/README.htm